καλεῖται κακοῦ δαίμονος. ἐπειδήπερ τὴν ἐπὶ γῆν ἀπόῤῥοιαν τῶν ἐν αὐτῷ ἀστέρων, μετὰ τοῦ καὶ ἀποκεκλικέναι, θολοῖ καὶ ὥσπερ ἀφανίζει τὸ ἀναθυμιώμενον ἐκ τῶν τῆς γῆς ὑγρῶν παχὺ καὶ ἀχλυῶδες, παρ' ὃ καὶ τοῖς χρώμασι καὶ τοῖς μεγέθεσι οὐ καταφαίνονται. μετὰ δὲ ταῦτα πάλιν* ἀφέτους παραληπτέον τοὺς κυριωτάτους δ' τόπους ☉ καὶ ☾. ὡροσκόπον. κλῆρον τύχης. καὶ τοὺς τούτων οἰκοδεσποτήσαντας.

## Περὶ τοῦ κλήρου τῆς τύχης.

Κλῆρον μὲν τοι τύχης τὸν συναγόμενον ἀπὸ τοῦ ἀριθμοῦ πάντοτε τῶν μοιρῶν καὶ ἡμέρας καὶ νυκτὸς τοῦ τε ἀπὸ ☉ ἐπὶ ☾. καὶ τὰ ἴσα ἀφαιροῦντες ἀπὸ τοῦ ⊗ κατὰ τὰ ἑπόμενα τῶν ζωδίων, ὅπου δ' ἂν ἐκπέσῃ ὁ ἀριθμὸς ἐκείνην τὴν μοῖραν τοῦ δωδεκατημορίου καὶ τὸν τόπον φαμὲν ἐπέχειν τὸν κλῆρον τῆς τύχης, ἵνα ὃν ἔχει λόγον καὶ σχηματισμὸν ὁ ☉ πρὸς τὸν ἀνατολικὸν ὁρίζοντα τοῦτον ἔχῃ καὶ ἡ ☾ πρὸς τὸν κλῆρον τῆς τύχης, καὶ ᾖ ὥσπερ σεληνιακὸς ὡροσκόπος.* πλὴν ὀφείλομεν ὁρᾶν ποῖον τῶν φώτων ἐπὶ τὰ ἑπόμενα εὑρίσκηται τοῦ ἑτέρου, εἰ μὲν γὰρ ἡ σελήνη πρὸς τὰ ἑπόμενα μᾶλλον εὑρίσκηται τοῦ ☉, τὸν ἐκβαλλόμενον ἀπὸ τοῦ ⊗ ἀριθμὸν ἐπὶ τὸν κλῆρον τῆς τύχης, ὡς πρὸς τὰ ἑπόμενα τῶν ζωδίων δεῖ ἡμᾶς τοῦτον διεκβάλλειν. εἰ δὲ ὡς πρὸς τὰ ἡγούμενα τοῦ ☉ μᾶλλον εὑρίσκηται ἡ ☾ τὸν αὐτὸν ἀριθμὸν ὡς πρὸς τὰ ἡγούμενα τοῦ ⊗ διεκβάλλειν. ἴσως δὲ καὶ αὐτὸ τοῦτ' ὅ ἐστι τε καὶ δύναται παρὰ τῷ συγγραφεῖ, τὸ, τοῖς νυκτὸς γεννωμένοις, ἀπὸ ☾. ἐπὶ ☉ ἀριθμεῖν, καὶ ἀνάπαλιν ἀπὸ τοῦ ⊗ τουτέστι εἰς τὰ προηγούμενα διεκβάλλειν. καὶ οὕτω γὰρ κἀκεῖνος ὁ αὐτὸς τόπος τοῦ κλήρου, καὶ ὁ αὐτὸς τοῦ σχηματισμοῦ λόγος εὑρεθήσεται.

## Πόσοι ἀφέται.

Προκριτέον δὲ τούτων ἡμέρας μὲν πρῶτον τὸν ☉ ἐάνπερ ᾖ ἐν τοῖς ἀφετικοῖς τόποις, εἰ δὲ μὴ τὴν ☾ εἰ δὲ μὴ τοὺς πλείονας ἔχοντας λόγους οἰκοδεσποτίας πρός τε τὸν ☉ καὶ τὴν προγενομένην σύνοδον καὶ τὸν ⊗. τουτέστι ὅταν οἰκοδεσποτικῶν τρόπων .ε. ὄντων, τρεῖς ἔχῃ πρὸς ἕνα ἢ καὶ πλείονας τῶν εἰρημένων, εἰ δὲ μὴ τελευταῖον τὸν ⊗. νυκτὸς δὲ πρῶτον τὴν ☾, εἶτα